ἀπ᾿ αὐτοῦ ἕως πρωὶ ἐν πυρὶ κατακαύσετε. [11] οὕτως δὲ φάγεσθε 11
αὐτό· αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι, καὶ τὰ ὑποδήματα ἐν τοῖς
ποσὶν ὑμῶν, καὶ αἱ βακτηρίαι ἐν ταῖς χερσὶν ὑμῶν· καὶ ἔδεσθε
αὐτὸ μετὰ σπουδῆς· πασχα ἐστὶν κυρίῳ. [12] καὶ διελεύσομαι ἐν γῇ 12
Αἰγύπτῳ ἐν τῇ νυκτὶ ταύτῃ καὶ πατάξω πᾶν πρωτότοκον ἐν γῇ
Αἰγύπτῳ ἀπὸ ἀνθρώπου ἕως κτήνους καὶ ἐν πᾶσι τοῖς θεοῖς τῶν
Αἰγυπτίων ποιήσω τὴν ἐκδίκησιν· ἐγὼ κύριος. [13] καὶ ἔσται τὸ αἷμα 13
ὑμῖν ἐν σημείῳ ἐπὶ τῶν οἰκιῶν, ἐν αἷς ὑμεῖς ἐστε ἐκεῖ, καὶ ὄψο-
μαι τὸ αἷμα καὶ σκεπάσω ὑμᾶς, καὶ οὐκ ἔσται ἐν ὑμῖν πληγὴ τοῦ
ἐκτριβῆναι, ὅταν παίω ἐν γῇ Αἰγύπτῳ. [14] καὶ ἔσται ἡ ἡμέρα ὑμῖν 14
αὕτη μνημόσυνον, καὶ ἑορτάσετε αὐτὴν ἑορτὴν κυρίῳ εἰς πάσας
τὰς γενεὰς ὑμῶν· νόμιμον αἰώνιον ἑορτάσετε αὐτήν. [15] ἑπτὰ ἡμέ- 15
ρας ἄζυμα ἔδεσθε, ἀπὸ δὲ τῆς ἡμέρας τῆς πρώτης ἀφανιεῖτε ζύμην
ἐκ τῶν οἰκιῶν ὑμῶν· πᾶς, ὃς ἂν φάγῃ ζύμην, ἐξολεθρευθήσεται
ἡ ψυχὴ ἐκείνη ἐξ Ισραηλ ἀπὸ τῆς ἡμέρας τῆς πρώτης ἕως τῆς
ἡμέρας τῆς ἑβδόμης. [16] καὶ ἡ ἡμέρα ἡ πρώτη κληθήσεται ἁγία, καὶ 16
ἡ ἡμέρα ἡ ἑβδόμη κλητὴ ἁγία ἔσται ὑμῖν· πᾶν ἔργον λατρευτὸν
οὐ ποιήσετε ἐν αὐταῖς, πλὴν ὅσα ποιηθήσεται πάσῃ ψυχῇ, τοῦτο
μόνον ποιηθήσεται ὑμῖν. [17] καὶ φυλάξεσθε τὴν ἐντολὴν ταύτην· ἐν 17
γὰρ τῇ ἡμέρᾳ ταύτῃ ἐξάξω τὴν δύναμιν ὑμῶν ἐκ γῆς Αἰγύπτου,
καὶ ποιήσετε τὴν ἡμέραν ταύτην εἰς γενεὰς ὑμῶν νόμιμον αἰώνιον.
[18] ἐναρχομένου τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ πρώ- 18
του ἀφ᾿ ἑσπέρας ἔδεσθε ἄζυμα ἕως ἡμέρας μιᾶς καὶ εἰκάδος τοῦ
μηνὸς ἕως ἑσπέρας. [19] ἑπτὰ ἡμέρας ζύμη οὐχ εὑρεθήσεται ἐν ταῖς 19
οἰκίαις ὑμῶν· πᾶς, ὃς ἂν φάγῃ ζυμωτόν, ἐξολεθρευθήσεται ἡ ψυχὴ
ἐκείνη ἐκ συναγωγῆς Ισραηλ ἔν τε τοῖς γειώραις καὶ αὐτόχθοσιν
τῆς γῆς· [20] πᾶν ζυμωτὸν οὐκ ἔδεσθε, ἐν παντὶ δὲ κατοικητηρίῳ 20
ὑμῶν ἔδεσθε ἄζυμα.

[21] Ἐκάλεσεν δὲ Μωυσῆς πᾶσαν γερουσίαν υἱῶν Ισραηλ καὶ εἶπεν 21
πρὸς αὐτούς Ἀπελθόντες λάβετε ὑμῖν ἑαυτοῖς πρόβατον κατὰ συγ-
γενείας ὑμῶν καὶ θύσατε τὸ πασχα. [22] λήμψεσθε δὲ δεσμὴν ὑσσώ- 22
που καὶ βάψαντες ἀπὸ τοῦ αἵματος τοῦ παρὰ τὴν θύραν καθίξετε
τῆς φλιᾶς καὶ ἐπ᾿ ἀμφοτέρων τῶν σταθμῶν ἀπὸ τοῦ αἵματος, ὅ
ἐστιν παρὰ τὴν θύραν· ὑμεῖς δὲ οὐκ ἐξελεύσεσθε ἕκαστος τὴν θύ-
ραν τοῦ οἴκου αὐτοῦ ἕως πρωί. [23] καὶ παρελεύσεται κύριος πατάξαι 23
τοὺς Αἰγυπτίους καὶ ὄψεται τὸ αἷμα ἐπὶ τῆς φλιᾶς καὶ ἐπ᾿ ἀμφοτέρων

11 υποδημ. et βακτηριαι] + υμων A | κυριου A || 12 διελευσ.] δι > B† | τοις et των > A || 13 εστε] κατοικειτε A† || 14 υμιν αυτη] tr. A | πασας > A || 15 ημερας της πρωτης $1^{0}$] πρωτης ημ. A || 16 κληθησεται] κεκλησεται A || 17 φυλαξεσθε M] -ξετε B†, -ξασθε A | fin.] + εις τας γενεας υμων A† || 18 εως ult. > A† || 20 δε > A || 21 υιων > A | εαυτοις] ε > A | προβατα A | συγγενιαν B† | θυσετε B || 22 της] pr. απο A†